Πλυ. Ἄγε δὴ χαίρων Αἰσχύλε χώρει,
Καὶ σῶζε πόλιν τὴν ἡμετέραν
Γνώμαις ἀγαθαῖς, καὶ παίδευε
Τοὺς ἀνοήτους (πολλοὶ δ' εἰσί)
Καὶ δὸς τουτὶ Κλεοφῶντι φέρων,
Καὶ τουτοισὶ τοῖσι πορισταῖς
Μύρμηκί θ' ὁμοῦ καὶ Νικομάχῳ,
Τόδε δ' Ἀρχενόμῳ,
Καὶ φράζ' αὐτοῖς, ταχέως ἥκειν
Ὡς ἐμὲ δευρί, καὶ μὴ μέλλειν.
Κἂν μὴ ταχέως ἥκωσι,
Νὴ τὸν Ἀπόλλω στίξας αὐτούς,
Καὶ συμποδίσας,
Μετ' Ἀδειμάντου τοῦ Λευκολόφου,
Κατὰ γῆς ταχέως ἀποπέμψω.
Αἰ. Ταῦτα ποιήσω. σὺ δὲ τὸν θρόνον
Τὸν ἐμὸν παράδος Σοφοκλεῖ τηρεῖν
Καὶ σώζειν, ἢν ἄρ' ἐγώ ποτε
Δεῦρ' ἀφίκωμαι. τοῦτον γὰρ ἐγὼ
Σοφίᾳ κρίνω δεύτερον εἶναι,
Μέμνησο δ', ὅπως ὁ πανοῦργος ἀνήρ,
Καὶ ψευδολόγος, καὶ βωμολόχος,
Μηδέποτ' εἰς τὸν θᾶκον τὸν ἐμόν,
Μηδ' ἄκων ἐγκαθεδεῖται.
Πλυ. Φαίνετε τοίνυν ὑμεῖς τούτῳ
Λαμπάδας ἱεράς, χἅμα προπέμπετε,
Τοῖς τούτου τοῦτον μέλεσι,
Καὶ μολπαῖς κελαδοῦντες.

A Pl. *Age verò, Æschyle, læto pede abi,*
*Et serua nostram Rempublicam*
*Præceptis vtilibus: ciues*
*Stolidos, quorum multi sunt, doce.*
*Cleophonti autem isthuc fer munus:*
*Et publicanis hisce vrbis,*
*Myrmeci putà, & Nicomacho,*
*Atque Archenomo:*
*Et dic illis, vt citò veniant*
B *Huc ad me, sublata omni mora.*
*Ni celeriter huc aduenient,*
*Ita me Phœbus amet, cadam ipsos:*
*Et quadrupedes*
*Constringam: & Adimanto iunctos,*
*Sub terræ viscera demittam.*
*Æs. Effecta hæc dabo: sed tu sedem*
*Committe meam Sophocli, vt seruet,*
C *Et tueatur, si fortè huc ego*
*Redeam, nam ego sua hunc sapientia,*
*A me esse secundum, iam statuo.*
*Memineris verò, ne vafer hic,*
*Et vaniloquus scurra, homo futilis,*
*Vnquam interea sedem isthanc meam,*
*Inuitus licet, obsideat.*
*Pl. Præferte facem, & prælucete*
D *Huic, & honestè illum deducite:*
*Vatémque suis Carminibus,*
*Et cantu celebrate.*

Σχόλια. Ἄγε δὴ χαίρων.] ἔκθεσις τοῦ δράματος ὃ καὶ ἐπίλογος καλεῖται, ἐκ κώλων διμέτρων ἀναπαιστικῶν κη. ὧν τὰ ϛ ια ιε κδ κζ ἐφθημιμερῆ. τὰ δὲ λοιπὰ ἀκατάληκτα, πλὴν τοῦ η καὶ ιγ μονομέτρων. ἐφ' ἑκάστης περιόδου τέλει δὲ συστήματος παράγραφος. Τὴν ἡμετέραν.] πάντως γὰρ οἱ θεοὶ αὐτὴν φιλοῦμεν διὰ τὴν πρὸς ἡμᾶς εὐσέβειαν. Καὶ δὸς τουτὶ Κλεοφῶντι.] ἴσως τι χοινίον δίδωσιν αὐτῷ ὁ Πλούτων, πρὸς ἀγχόνην. ἤτι τοιοῦτο σύμβολον θανάτου. ὡς ξένος δὲ ὁ Κλεοφῶν κωμῳδεῖται. ἢ ὅτι γέρων ὢν ἔμελλε μετ' ὀλίγον τεθνήξεσθαι. ἢ ὡς ἀγχόνης ἄξια ἔπραττε. Καὶ τούτοις τοῖσι πορισταῖς] τοῖς φορολόγοις τούτους λέγει, τοὺς περὶ πόρου χρημάτων εἰσηγουμένους. εἴη δ' ἂν χοινίον, ὃ ἐπιδίδωσιν αὐτοῖς. Μύρμηκί θ' ὁμοῦ.] ὀνόματα κύρια. ἐπὶ πονηρίᾳ δὲ οὗτοι ἐκωμῳδοῦντο. οὐ πάντως δὲ ὁ Μύρμηξ τῶν ποριστῶν ἐστὶν ἀλλὰ δὴ οἴονται ἀπὸ ἄλλης ἀρχῆς. οὐδὲ γὰρ ὁ Νικόμαχος. ἀλλὰ ἤτοι στρατηγικὸς ὑποκείτης ἢ ὁ πολίτης. περὶ ὧν προείρηται. τί δ' ἂν εἴη διδοὺς τάχα βρόχους πρὸς ἀγχόνην ἤτι τοιοῦτον. συμποδίσας δὲ συνδήσας τοὺς πόδας. Τοῦ Λευκολόφου.] εἴη ἂν πρὸς ὁ τοῦ Λευκολοφίου, οὗ καὶ Πλάτων μέμνηται ἐν τῷ Πρωταγόρᾳ. ἦν γὰρ, τῶν περὶ τοὺς καιροὺς τούτους στρατηγούντων. ἡγεῖτο δὲ τοῦ μέρους τοῦ ναυτικοῦ. τάχα δ' ἂν πρὸς εἴη, ὃν καὶ παραγεγραμμένον λέγουσιν, οἰκεῖον γὰρ αὐτῷ, τὸ στίξας αὐτούς. ἀντὶ τοῦ στιγματίσας καὶ μαστιγώσας. ἦν γὰρ ξένος. ἄλλως. στρατηγὸς ἦν τοῦ ναυτικοῦ, καὶ Εὔπολις μέμνηται ἐν πόλεσιν οὕτω περὶ τοῦ Ἀδειμάντου. οὐκ ἀργαλέον δῆτ' ἐστὶ πάσχειν. τοῦτ' ἐμὲ τὸν Λευκολόφου παῖδα. Ἢν ἄρ' ἐγώ ποτε.] ἀπαγορεύει ὡς οὐκ ἔτι πάλιν εἰς ᾅδου ἀφίξεται. Μηδ' ἄκων.] οἷον μηδὲ εἴ τινες ἄκοντα τοῦτον λαβόντες καθίσαι ἐθελήσουσι. Φαίνετε.] πρὸς τὸν χορόν. ἀντὶ τοῦ ἀνάπτετε ὦ μύσται.

E

F

## ΧΟΡΟΣ. / CHORVS.

Ἡ τελευταία τοῦ δράματος ἔκθεσις ἐκ στίχων ϛ'.

Χο. Πρῶτα μὲν εὐοδίαν ἀγαθὴν ἀπιόντι ποιητῇ
Ἐς φάος ὀρνυμένῳ δότε δαίμονες οἱ κατὰ γαῖαν,
Τῇ τε πόλει μεγάλων ἀγαθῶν ἀγαθὰς ἐπινοίας,

BA. *Principiò facilémque viam, & bona signa Poëtæ,*
G *Dum redit ad superos, date vos pia numina terræ:*
*Nostráque consilijs defendite mœnia vestris,*

Σχόλια. Πρῶτα μὲν εὐοδίαν.] ἡ τελευταία ἔκθεσις τοῦ δράματος, ἐκ στίχων ἐστὶ δακτυλικῶν ϛ. ἐπὶ τῷ τέλει κορωνὶς ἣ καὶ τὸ δρᾶμα ἀποπερατοῦσα. εὐοδίαν δὲ εὐκολίαν περὶ τὴν ὁδόν. ταῦτα δὲ παρὰ τὰ ἐν Γλαύκῳ Ποτνιεῖ Αἰσχύλου. εὐοδίαν μὲν πρῶτα, ἀπὸ στόματος χεόμενον.

Πάγχυ